3 ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρ-
δία μου·
ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.
4 μίαν ᾐτησάμην παρὰ κυρίου, ταύτην ἐκζητήσω·
τοῦ κατοικεῖν με ἐν οἴκῳ κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου,
τοῦ θεωρεῖν με τὴν τερπνότητα τοῦ κυρίου
καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.
5 ὅτι ἔκρυψέν με ἐν σκηνῇ ἐν ἡμέρᾳ κακῶν μου·
ἐσκέπασέν με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ,
ἐν πέτρᾳ ὕψωσέν με·
6 καὶ νῦν ἰδοὺ ὕψωσεν τὴν κεφαλήν μου ἐπ᾽ ἐχθρούς μου·
ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ,
ᾄσομαι καὶ ψαλῶ τῷ κυρίῳ.
7 εἰσάκουσον, κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα·
ἐλέησόν με καὶ εἰσάκουσόν μου.
8 σοὶ εἶπεν ἡ καρδία μου Ἐζήτησεν τὸ πρόσωπόν μου·
τὸ πρόσωπόν σου, κύριε, ζητήσω.
9 μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ,
μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου·
βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με
καὶ μὴ ἐγκαταλίπῃς με, ὁ θεὸς ὁ σωτήρ μου.
10 ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με,
ὁ δὲ κύριος προσελάβετό με.
11 νομοθέτησόν με, κύριε, τῇ ὁδῷ σου
καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.
12 μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με,
ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι,
καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
13 πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων.
14 ὑπόμεινον τὸν κύριον·
ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου,
καὶ ὑπόμεινον τὸν κύριον.

27 ΚΖ´

1 Τοῦ Δαυιδ.

Πρὸς σέ, κύριε, ἐκέκραξα,

$4^{2}$ του] το SA | $4^{3}$ του ult. > A | $4^{4}$ ναον] λαον S, + τον αγιον A || $5^{1}$ σκηνη] + αυτου A || $6^{1}$ υψωσεν] + κυριος A | $6^{3}$ ασω S || $7^{1}$] + προς σε A || $8^{1}$ εζητησεν το προσ. μου S(†)] εξεζητησα το προσ. σου BA || $9^{3.4}$ αποσκορακισης … εγκαταλιπης U] εγκατ. … υπεριδης BSA || 13 πιστευσω BS || $14^{2}$ σου] μου A†
27 (𝔐 28) $1^{1}$ κεκραξομαι SA

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/29 UNIVERSITÄT LEIPZIG